σθωμένων καὶ ἁπάντων συνειδότων ἀφανίσαι τὸν σηκὸν
βραχέος μὲν κέρδους ἕνεκα, προθεσμίας δὲ οὐδεμιᾶς
οὔσης τῷ κινδύνῳ τοῖς εἰργασμένοις ἅπασι τὸ χωρίον
ὁμοίως προσῆκον εἶναι σῶν τὸν σηκόν; [ἵν' εἴ τις αὐτοὺς
ᾐτιᾶτο, εἶχον ἀνενεγκεῖν ὅτῳ παρέδοσαν] νῦν δὲ καὶ ἐμὲ
ἀπολύσαντες φαίνονται, καὶ σφᾶς αὐτούς, εἴπερ ψεύδον-
ται, μετόχους τῆς αἰτίας καθιστάντες. εἰ τοίνυν καὶ 18
ταῦτα | παρεσκευασάμην, πῶς ἂν οἷός τ' ἦν πάντας πεῖ-
σαι τοὺς παριόντας, ἢ τοὺς γείτονας, οἳ οὐ μόνον ἀλ-
λήλων ταῦτ' ἴσασιν ἃ πᾶσιν ὁρᾶν ἔξεστιν, ἀλλὰ καὶ περὶ
ὧν ἀποκρυπτόμεθα μηδένα εἰδέναι, καὶ περὶ ἐκείνων
πυνθάνονται; ἐμοὶ τοίνυν τούτων οἱ μὲν φίλοι οἱ δὲ
διάφοροι περὶ τῶν ἐμῶν τυγχάνουσιν ὄντες· οὓς ἐχρῆν 19
τοῦτον παρασχέσθαι μάρτυρας, καὶ μὴ μόνον οὕτως τολ-
μηρὰς κατηγορίας ποιεῖσθαι· ὃς φησιν ὡς ἐγὼ μὲν πα-
ρειστήκειν, οἱ δ' οἰκέται ἐξέτεμνον τὰ πρέμνα, ἀναθέ-
μενος δὲ ὁ βοηλάτης ᾤχετο ἀπάγων τὰ ξύλα.

Καίτοι, ὦ Νικόμαχε, χρῆν σε τότε καὶ παρακαλεῖν τοὺς 20
παριόντας μάρτυρας, καὶ φανερὸν ποιεῖν τὸ πρᾶγμα·
καὶ ἐμοὶ μὲν οὐδεμίαν ἂν ἀπολογίαν ὑπέλιπες, αὐτὸς δέ,
εἰ μέν σοι ἐχθρὸς ἦν, ἐν τούτῳ τῷ τρόπῳ ἦσθα ἄν με
τετιμωρημένος, εἰ δὲ τῆς πόλεως ἕνεκα ἔπραττες, οὕτως 21
ἐξελέγξας οὐκ ἂν ἐδόκεις εἶναι συκοφάντης, εἰ δὲ κερ-
δαίνειν ἐβούλου, τότ' ἂν πλεῖστον ἔλαβες· φανεροῦ γὰρ
ὄντος τοῦ πράγματος οὐδεμίαν ἄλλην ἡγούμην ἂν εἶναί
μοι σωτηρίαν ἢ σὲ πεῖσαι. τούτων τοίνυν οὐδὲν ποιήσας
διὰ τοὺς σοὺς λόγους ἀξιοῖς με ἀπολέσθαι, καὶ κατ-
ηγορεῖς ὡς ὑπὸ τῆς ἐμῆς δυνάμεως καὶ τῶν ἐμῶν χρημά-
των οὐδεὶς ἐθέλει σοι μαρτυρεῖν. καίτοι εἰ ⟨ὅτε⟩ φῄς μ' 22
ἰδεῖν τὴν μορίαν ἀφανίζοντα τοὺς ἐννέα ἄρχοντας ἐπ-
ήγαγες ἢ ἄλλους τινὰς τῶν ἐξ Ἀρείου πάγου, οὐκ ἂν ἑτέ-